www.tezaurliturgic.ro

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ
# ΛΟΥΚΑ



Μετὰ Παρακλητικοῦ Κανόνος

ΕΚΔΟΣΙΣ
ΙΕΡΟΥ ΝΑΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ
ΠΑΤΗΣΙΩΝ

ΑΘΗΝΑΙ 2005

www.tezaurliturgic.ro

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ

**Ψαλλομένη τῇ 18ῃ Ὀκτωβρίου**

Μετὰ Παρακλητικοῦ Κανόνος
ὑπὸ Δρος κ. Χαραλάμπους Μπούσια
Ὑμνογράφου

Ἐγκρίσει τῆς Ἱερᾶς Συνόδου
τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

Ἐπιμελείᾳ
Ἀρχιμ. Μαξίμου Μ. Ματθαίου

ΕΚΔΟΣΙΣ
ΙΕΡΟΥ ΝΑΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ
ΠΑΤΗΣΙΩΝ

ΑΘΗΝΑΙ 2005

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (115 21)

ΑΡΙΘΜ. ΠΡΩΤ. 2125

ΔΙΕΚΠ. 1494

ΑΘΗΝΗΣΙ ΤΗ 30ῇ Ἰουνίου 2005

Πρός
Τήν Ἱεράν Ἀρχιεπισκοπήν Ἀθηνῶν
**Ἐνταῦθα.**

Ἐκ Συνοδικῆς Ἀποφάσεως, ληφθείσης ἐν τῇ Συνεδρίᾳ τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου τῆς 28ης λήγοντος μηνός Ἰουνίου ἐ.ἔ., καί εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. πρωτ. 960/ΕΞ2696/12.5.2005 ὑμετέρου ἐγγράφου, περί ἐγκρίσεως ὑπό τῆς Ἱερᾶς Συνόδου «*τῆς Ἀσματικῆς Ἀκολουθίας τοῦ Ἁγίου Ἐνδόξου Ἀποστόλου Λουκᾶ*» συντεθείσης ὑπό τοῦ Πανοσιολογιωτάτου Ἀρχιμανδρίτου κ. Μαξίμου Ματθαίου, Ἐφημερίου τοῦ Ἱεροῦ Ναοῦ Εὐαγγελιστοῦ Λουκᾶ Πατησίων, καί τοῦ «*Παρακλητικοῦ Κανόνος Αὐτοῦ*», ποιηθέντος ὑπό τοῦ Ἐλλογιμωτάτου Δρος κ. Χαραλάμπους Μπούσια, Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας, γνωρίζομεν ὑμῖν, ὅτι ἐγκρίνονται αἱ ὡς ἄνω Ἱεραί Ἀκολουθίαι, ὡς καλῶς ἔχουσαι, καθ' ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά δόγματα καί τάς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ἐκκλησίας περιέχεται ἐν αὐταῖς.

Ὅθεν παρακαλοῦμεν ὑμᾶς, ὅπως κατά τήν τάξιν ὑποβάλητε πέντε (5) ἀντίτυπα τῶν ἐκδοθησομένων ἀνωτέρω Ἀκολουθιῶν διά τό Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου.

Ἐντολῇ τῆς Ἱερᾶς Συνόδου
Ὁ Ἀρχιγραμματεύς

ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Χριστιανουπόλεως Σεραφείμ

† Ὁ Χριστιανουπόλεως Σεραφείμ.

**Κοινοποίησις:**
Συνοδικήν Ἐπιτροπήν
Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου.
Παρ' ἡμῖν.

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

Ὁ Ἱερὸς Ναὸς τοῦ Ἁγίου Λουκᾶ τοῦ Εὐαγγελιστοῦ τῆς περιοχῆς Πατησίων τῶν Ἀθηνῶν, παλαιὸς καὶ ἱστορικὸς ὑπάρχων, τυγχάνει καὶ ὁ μοναδικὸς εὐρέως γνωστὸς Ναός, τιμώμενος ἐπ' ὀνόματι τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, εἰς τὸ λεκανοπέδιον τῆς Ἀττικῆς ἀλλὰ καὶ εἰς τὴν Ἐπικράτειαν.

Διὰ τοῦτο πολλάκις καὶ κατὰ καιροὺς ἐγενόμεθα ἀποδέκται θερμῶν παρακλήσεων ἀπ' ὅλα τὰ μέρη τῆς Πατρίδος μας, καθὼς καὶ τοῦ Ἐξωτερικοῦ, διὰ τὴν ἀποστολὴν τῆς Ἀκολουθίας τοῦ Ἁγίου, ἐλλιποῦς ὑπαρχούσης εἰς τὸ Μηναῖον τοῦ Ὀκτωβρίου, προκειμένου φιλακόλουθοι ἱερεῖς, ἱεροψάλται ἢ εὐσεβεῖς χριστιανοί, νὰ τιμήσουν δεόντως, μὲ τὴν τέλεσιν πλήρων Ἀκολουθιῶν Ἑσπερινοῦ καί Ὄρθρου ἢ Ἀγρυπνίας, καθὼς καὶ Ἱερᾶς Παρακλήσεως, τὸν Εὐαγγελιστὴν καὶ λαοφιλῆ ἰατρόν *«Λουκᾶν τόν ἀγαπητόν»* (Κολ. Δ΄14).

Τῆς ἐλλείψεως ταύτης ἔδωκεν ὁ Θεός, διὰ πρεσβειῶν τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ, τὴν *«πλήρωσιν»*, διὰ τῆς παρούσης ἐκδόσεως καὶ κυκλοφορίας, μὲ τὴν Εὐλογίαν τοῦ Μακαριωτάτου Πατρὸς καὶ Ἀρχιεπισκόπου μας, τοῦ Ἀθηνῶν καὶ

www.tezaurliturgic.ro

Πάσης Ἑλλάδος Κυρίου Κου ΧΡΙΣΤΟΔΟΥΛΟΥ καὶ τὴν θερμὴν συναντίληψιν τοῦ Αἰδεσιμολογιωτάτου Πρωτοσυγκέλλου μας, Μ. Πρωτοπρεσβυτέρου κ. Θωμᾶ Συνοδινοῦ.

Ἐπὶ πάντας τοὺς εὐσεβῶς τιμῶντας τὴν μνήμην τοῦ Εὐαγγελιστοῦ καὶ αἰτουμένους τὴν βοήθειαν «*Λουκᾶ τοῦ ἰατροῦ*», ἐπικαλούμεθα πλουσίαν «*τὴν Χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ*», ὡς καὶ ἐπὶ τοὺς ἀσπαζομένους τὴν «*ἱστορηθεῖσαν ὑπὸ τοῦ ἀποστόλου Λουκᾶ ἱερωτάτου, σεπτὴν εἰκόνα*» τῆς Θεομήτορος, «*ἀκοίμητον*» τὴν πρεσβείαν τῆς τε Παναγίας Μητρός Του καὶ τοῦ Ἁγίου Του.

Ἐν Ἀθήναις τῇ 1ῃ Μαΐου 2005
Κυριακὴ τοῦ Πάσχα

Ἀρχιμ. Μάξιμος Μ. Ματθαῖος

www.tezaurliturgic.ro

# ΕΙΣΑΓΩΓΙΚΟΝ ΣΗΜΕΙΩΜΑ

Ἡ Ἀκολουθία τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ εὕρηται εἰς τὸ Μηναῖον τοῦ Ὀκτωβρίου ΙΗ΄ μερικῶς ἐλλιπής. Ἐλλείπουν Ἀναγνώσματα τοῦ Ἑσπερινοῦ, Ἰδιόμελα διὰ τὴν Λιτήν, Καθίσματα τοῦ Ὄρθρου, Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου καί, διὰ τὴν ἀκρίβειαν τῆς μοναστηριακῆς τάξεως, Ἀκολουθία τοῦ Μικροῦ Ἑσπερινοῦ. Ἐπίσης τὰ ὑπάρχοντα Στιχηρὰ Προσόμοια τῶν Αἴνων, δὲν εἶναι ὅμοια πρός τὰ συνήθη καὶ γνωστὰ τροπάρια κατὰ τὸ μουσικὸν μέλος (εἶναι πρὸς τό, ἦχος α΄. Νεφέλην σε φωτὸς) καὶ ὡς ἐκ τούτου χρήζουν ἀντικαταστάσεως.

Ἔχει, ὅμως, ἡ Ἀκολουθία τοῦ Μηναίου δύο πλεονάζοντα Ἰδιόμελα, ἓν εἰς τὰ Ἀπόστιχα τοῦ Ἑσπερινοῦ καὶ ἕτερον εἰς τοὺς Αἴνους.

Αἱ παλαιαὶ Ἀκολουθίαι τῶν Μηναίων, κατὰ τοὺς εἰδικούς, εἶναι αἱ πλέον δόκιμοι καὶ ἀκριβεῖς καὶ κατὰ τὴν ἔμπνευσιν τῆς ὑμνολογικῆς συνθέσεως καὶ κατὰ τὴν μετρικὴν μελικὴν πιστότητα καὶ διὰ τοῦτο αἱ πλέον σεβασταί. Ὁ καταιγισμὸς πλήθους νέων Ἀκολουθιῶν καὶ ὑμνογραφημάτων ἔχει δημιουργήσει περισσότερα προβλήματα, ἀπ᾽ ὅσα ἠλπίζετο, ὅτι θὰ ἔλυε. Διὰ τοῦτο καὶ ἡμεῖς μὲ ἀπόλυτον σεβασμὸν εἰς τὴν ὑπάρχουσαν Ἀκολουθίαν τοῦ Μηναίου προβαίνομεν διακριτικῶς εἰς μόνην τὴν συμπλήρωσιν τῶν ἐλλειπόντων.

Διὰ τὴν συμπλήρωσιν τῆς ἐν λόγῳ Ἀκολουθίας, διαμόρφωσιν καὶ ἔκδοσίν της, κατέχομεν τὰς κάτωθι ἐκδόσεις (οἱ τίτλοι κατὰ πιστὴν ἀντιγραφήν):

Α΄. «ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ, Ψαλλωμένη τὴν 18ην Ὀκτωβρίου, Συνθεθεῖσα ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἱερεῦσι ΓΕΩΡΓ. Α. ΒΟΥΤΕΡΗ ἐφημερίου τοῦ ναοῦ τοῦ Ἁγίου Μελετίου, ΕΝ ΑΘΗΝΑΙΣ, ΤΥΠΟΓΡΑΦΕΙΟΝ Δ. Γ.

www.tezaurliturgic.ro

ΕΥΣΤΡΑΤΙΟΥ ΚΑΙ Δ. ΔΕΛΗ, 1913»,

Β΄. «ΤΑ ΑΝΘΗ ΤΟΥ ΠΑΡΑΔΕΙΣΟΥ, ὑπὸ Ἰωάννου Ἰωσηφίδου Γαβρᾶ, ἐκδοθὲν τὸ πρῶτον ἐν Ἀθήναις τῷ 1890 καὶ τὸ δεύτερον ἐν τῇ Ἁγίᾳ Πόλει Ἱερουσαλὴμ τῷ 1911»,

Γ΄. «ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ, Ψαλλομένη τῇ 18ῃ Ὀκτωβρίου, Ποιηθεῖσα ἐν Ἁγίῳ Ὄρει, Ὑπὸ τοῦ ἀοιδίμου μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, ΕΚΔΟΣΙΣ ΙΕΡΟΥ ΝΑΟΥ ΑΓΙΟΥ ΛΟΥΚΑ ΠΑΙΑΝΙΑΣ, (ΚΤΗΜΑ ΕΛΛΗΝΑ), 1992» (ἐγκεκριμένη ὑπό τῆς Ἱερᾶς Συνόδου, Ἀριθ. Πρωτ. 1909, Διεκπ. 1307, Ἀθήνησι τῇ 21ῃ Σεπτεμβρίου 1992), καί

Δ΄. «Δρος ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ, ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΑΠΟΣΤΟΛΟΝ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΗΝ ΛΟΥΚΑΝ, ΑΘΗΝΑΙ 2001» (ἀνέκδοτος)

Ἐπί τῶν ἀνωτέρω ἐκδόσεων καὶ ὑμνογραφικῶν συνθέσεων ἔχομεν νὰ παρατηρήσωμεν τὰ ἑξῆς:

Ἡ Ἀκολουθία τοῦ π. Γ. Βουτέρη, φαινομενικῶς ὁλοκληρωμένη ἐκ πρώτης ὄψεως, ἀδυνατεῖ νὰ προσφέρει οὐσιαστικὴν βοήθειαν, καθ᾽ ὅσον αἱ γενόμεναι συμπληρώσεις ἢ μεταθέσεις τροπαρίων δὲν εἶναι δόκιμοι. Ὁ π. Βουτέρης ἐν σημειώματι "Πρός τούς εὐσεβεῖς ἀναγνώστας" διατείνεται, ὅτι "φέρει εἰς φῶς τήν παροῦσαν Ἀκολουθίαν ... ἔργον πρωτοφανές εἰς τήν κοινωνίαν τυπωθέν ἐν Βενετίᾳ τό ἔτος 1779 ... ἀντί ἐλαχίστης τιμῆς τῶν τυπογραφικῶν ἐξόδων. ... Ἀθήνησι τῇ 15ῃ Μαρτίου 1913". Ἂν ὄντως εἶναι ἔτσι ἢ αἱ συνθέσεις εἶναι ἰδικές του, δὲν γνωρίζομεν, πάντως διαπιστοῦται ὅτι, διὰ τὴν Λιτὴν χρησιμοποιεῖ ὡς Ἰδιόμελα κατὰ πιστὴν ἀντιγραφὴν τὰ Στιχηρὰ Προσόμοια τῶν Αἴνων τοῦ Μηναίου, τὰ πρὸς τὸ ἦχος α΄. Νεφέλην σε φωτός. καὶ τὸ ἐν συνεχείᾳ Ἰδιόμελον. Ἦχος πλ. δ΄. Λέοντος Μαΐστορος. "Δεῦτε πᾶσα κτίσις", Δόξα. τό Ἰδιόμελον τῶν Αἴνων τοῦ Μηναίου. Ἦχος ὁ αὐτός. "Δαβιτικῶς (sic) συνελθόντες οἱ πιστοί", Καὶ νῦν. Ὢ τοῦ παραδόξου θαύματος. "Χαῖρε Μητρόθεε Δέσποινα" (ἐκ τῆς Παρακλητικῆς, ΗΧΟΣ ΠΛ. Δ΄. ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ). Ἀπολυτίκιον ἔχει εἰς ἦχον δ΄, "Ἀκέστωρ σοφώτατος". Τὰ Καθίσματα τοῦ Ὄρθρου, δύο μετὰ τὴν α΄ στιχολογίαν, πρὸς τὸ ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον., ἕνα μετὰ τὴν β΄ στιχολογίαν, πρὸς τὸ ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ., καὶ δύο μετὰ τὸν Πολυέλεον, πάλιν πρὸς τὸ ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον., ἐκτὸς τῶν ἑπομένων Θεοτοκίων, τῶν, ἐκ τῆς Παρακλητικῆς ληφθέντων, εἶναι ἀδόκιμα καὶ ἄμετρα. Διὰ τὸ μετὰ τὸν Ν΄ ψαλμὸν Τροπάριον τῆς Τάξεως τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου, ἐπαναλαμβάνει τὸ Δοξαστικὸν Ἰδιόμελον τῶν Ἀποστίχων τοῦ Ἑσπερινοῦ τοῦ Μηναίου, ἦχος πλ. β΄.

www.tezaurliturgic.ro

"Πάνσοφε ἁλιεῦ". Διὰ τοὺς Αἴνους ἔχει 3 Στιχηρὰ Προσόμοια. ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων., καὶ ταῦτα νοηματικῶς ἀδόκιμα καὶ μουσικῶς ἄμετρα, ὡς καὶ τὸ ἐν συνεχείᾳ παρατιθέμενον Δοξαστικόν. Ἀναγνώσματα διὰ τὸν Ἑσπερινὸν θέτει τρία Καινοδιαθηκικὰ καὶ συγκεκριμένως, τὸ α΄ ἐκ τῆς Καθολικῆς Β΄ ἐπιστολῆς Πέτρου (α΄,20-β΄,9), τὸ β΄ ἐκ τῆς πρὸς Κορινθίους Β΄ Ἐπιστολῆς Παύλου (η΄16-θ΄5) καὶ τὸ γ΄ ἐκ τῆς Καθολικῆς Α΄ ἐπιστολῆς Ἰωάννου (β΄,7-17), διὰ δὲ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τὸ Ε΄ Ἑωθινόν, Ἐκ τοῦ κατὰ Λουκᾶν (κδ΄12-35).

Τά, εἰς τὸ ἔργον "ΤΑ ΑΝΘΗ ΤΟΥ ΠΑΡΑΔΕΙΣΟΥ, τοῦ Ἰωάννου Γαβρᾶ, σσ. 93, 94, μόνα ὑπάρχοντα Καθίσματα τῶν Στιχολογιῶν τοῦ Ὄρθρου - α΄ στιχολ. Τήν ὡραιότητα. β΄ στιχολ. Θείας πίστεως. Μετὰ τὸν Πολυέλαιον. Τῇ ὑπερμάχῳ. - εἶναι παντελῶς ἀκατάλληλα, ὡς ποιητικῶς ἄμετρα, γλωσσικῶς καί γραμματικῶς ἀδόκιμα.

Ἡ Ἀκολουθία τοῦ ἀειμνήστου π. Γερασίμου Μικραγιαννανίτου, δὲν χωρεῖ ἀμφιβολία, ὅτι εἶναι δόκιμος, μὲ ποιητικὸν πλοῦτον, νοηματικὴν ἔκφρασιν, γραμματικὴν καὶ συντακτικὴν ἀκρίβειαν. Συμπληρωματικῶς ἐπὶ τῆς Ἀκολουθίας τοῦ Μηναίου συνέθεσεν τροπάρια διὰ τὴν Ἀκολουθίαν τοῦ Μικροῦ Ἑσπερινοῦ, Στιχηρὰ Προσόμοια 4 διὰ τὰ Κεκραγάρια τοῦ Μεγάλου Ἑσπερινοῦ, προτάξας τὰ ἑαυτοῦ τῶν παλαιῶν, Ἰδιόμελα διὰ τὴν Λιτήν, Καθίσματα τοῦ Ὄρθρου, Ἰδιόμελον (πεντηκοστάριον) τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου, Κανόνα τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου (δεύτερον) καὶ Στιχηρὰ Προσόμοια εἰς τούς Αἴνους. Ὡς καὶ ὁ Βουτέρης ἔκρινε, ὅτι τὰ παλαιὰ Στιχηρὰ τῶν Αἴνων τοῦ Μηναίου δὲν εἶναι συνηθισμένα, συνθέσας ἕτερα, ἐκ τῶν δὲ παλαιῶν ἐχρησιμοποίησε μόνον τὸ πρῶτον διὰ Δοξαστικὸν τῶν Κεκραγαρίων τοῦ Μικροῦ Ἑσπερινοῦ, ἀφοῦ μερικῶς τὸ συνεπλήρωσε. Ἐχρησιμοποίησε δὲ καὶ τὰ δύο πλεονάζοντα Ἰδιόμελα τοῦ Μηναίου εἰς τὴν Λιτήν. Ἀπολυτίκιον ἔχει τὸ αὐτὸ μετὰ τοῦ Βουτέρη εἰς ἦχον δ΄, "Ἀκέστωρ σοφώτατος". Ἀναγνώσματα διὰ τὸν Ἑσπερινὸν θέτει τρία Καινοδιαθηκικὰ καὶ συγκεκριμένα τὸ α΄ ἐκ τῆς Καθολικῆς Α΄ ἐπιστολῆς Πέτρου (α΄, 13-20), τὸ β΄ ἐκ τῆς Καθολικῆς Α΄ ἐπιστολῆς Ἰωάννου (δ΄, 20 -ε΄, 5) καὶ τὸ γ΄ ἐκ τῆς Καθολικῆς ἐπιστολῆς Ἰακώβου (γ΄, 1-12), διὰ δὲ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου χρησιμοποιεῖ περικοπὴν Ἐκ τοῦ κατά Λουκᾶν. (θ΄, 1-6).

Διὰ τὴν ἔκδοσιν τῆς παρούσης Ἀκολουθίας, ἀποβλεπούσης εἰς τὴν συμπλήρωσιν καὶ μόνον τῶν ἐλλειπόντων μερῶν τῆς Ἀκολουθίας τοῦ Μηναίου, ὡς προανεφέρθη, πρὸς Ἐνοριακὴν καὶ «ἐν τῷ κόσμῳ» χρῆσιν καὶ κατὰ

www.tezaurliturgic.ro

τὰ εἰς τὴν ἡμετέραν Ἐνορίαν κρατοῦντα, προεκρίναμεν καὶ προέβημεν εἰς τὰ ἀκόλουθα:

- Δὲν ὑφίσταται λόγος τυπώσεως Ἀκολουθίας Μικροῦ Ἑσπερινοῦ.
- Τά, διὰ τὸν (Μέγαν) Ἑσπερινόν, Εἰς τὸ Κύριε ἐκέκραξα, 6 Στιχηρὰ Προσόμοια τοῦ Μηναίου ἀρκοῦν, μετὰ τοῦ ἐν συνεχείᾳ Δοξαστικοῦ.
- Εἰς τὸ Καὶ νῦν. ἐθέσαμεν τὸ α΄ ὁμόηχον Θεοτοκίον "Τίς μὴ μακαρίσει σε", τὸ ὁποῖον θὰ πρέπει νὰ ἀντικαθίσταται ὑπό τοῦ ἀντιστοίχου τοῦ ἐνορδίνου ἤχου τῆς ἑβδομάδος, ὅτε ὁ Ἑσπερινὸς τελεῖται ἐν ἡμέρᾳ Παρασκευῇ ἢ Σαββάτῳ.
- Διὰ τὰ Ἀναγνώσματα τοῦ Ἑσπερινοῦ προεβλέψαμεν Καινοδιαθηκικὰ Ἀναγνώσματα ἐκ τῆς δευτέρας συγγραφῆς τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ, ἤτοι ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων δύο (κεφ. α΄ 1-8 καὶ ις΄ 4,5,8-12), ὅπου, ἀφ᾽ ἑνός ἡ ἔναρξις τῆς δευτέρας συγγραφῆς τοῦ Εὐαγγελιστοῦ καὶ ἡ ἐντολή τοῦ Κυρίου διὰ τὴν διάδοσιν τοῦ εὐαγγελίου *«ἕως ἐσχάτου τῆς γῆς»* καὶ ἀφ᾽ ἑτέρου μέρος τῆς συνοδοιπορείας τοῦ Εὐαγγελιστοῦ μετὰ τοῦ Παύλου *«ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι»* καὶ ἓν τρίτον ἐκ τῆς πρὸς Τιμόθεον Β΄Ἐπιστολῆς Παύλου (γ΄ 16 δ΄11), ὅπου γίνεται ἑτέρα ἀναφορὰ τοῦ ὀνόματος τοῦ Εὐαγγελιστοῦ, παρὰ τὰς ἐπιφυλάξεις μας, ἐὰν πρέπει νὰ καταλιμπάνεται ἡ ΠΑΛΑΙΑ ΔΙΑΘΗΚΗ, ὡς σταθερὸν μέρος τῶν Ἀναγνωσμάτων τῆς Λειτουργίας τοῦ Λόγου εἰς τὴν ἀρχαίαν Λειτουργικὴν Παράδοσιν, τοῦ Παλαιοδιαθηκικοῦ Ἀναγνώσματος μεταφερθέντος ὕστερον εἰς τὴν Ἀκολουθίαν τοῦ Ἑσπερινοῦ. Ἐξ ἐπιδράσεως ὅμως τοῦ ᾀσματικοῦ (ἢ κοσμικοῦ) Ἑσπερινοῦ ἢ διὰ τὸν ἱερόν ἀριθμόν 3, φαίνεται, ὅτι ταῦτα ἀνεπτύχθησαν εἰς τρία· ἐκ τῆς αὐτῆς δέ ἐπιδράσεως τοῦ ᾀσματικοῦ τύπου ἴσως δικαιολογεῖται καὶ ἡ ἐκλογὴ Καινοδιαθηκικῶν Πραξαποστολικῶν Ἀναγνωσμάτων εἰς τὸν Ἑσπερινὸν διὰ τὰς μνήμας Ἀποστόλων καὶ Εὐαγγελιστῶν, ἀρχῆς γενομένης ἐκ τῶν Ἑσπερινῶν Ἀναγνωσμάτων τῶν δύο μνημῶν τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου -ἐκ τῶν Καθολικῶν Ἐπιστολῶν αὐτοῦ-, ὕστερον διὰ τοὺς Πρωτοκορυφαίους εὐνοήτως -ἐξ ἰδίων Ἐπιστολῶν-, ὡς καὶ διὰ τὸν Ἀπόστολον Ἀνδρέαν -ἐκ τῶν Καθολικῶν τοῦ ἀδελφοῦ του Πέτρου-. Ἐπειδή, λοιπόν, "ἤδη οὕτω συνειθίσθη", θέτομεν καὶ ἡμεῖς ἐκλογὴν Καινοδιαθηκικῶν Πραξαποστολικῶν Ἀναγνωσμάτων, σχέσιν ὅμως ἐχόντων μὲ τὸν Εὐαγγελιστὴν Λουκᾶν, ὡς ἐδείξαμεν.
- Διὰ τὰ τροπάρια τῆς Λιτῆς ἐπελέξαμεν τὸ α΄ προσόμοιον τῶν Αἴνων τοῦ Μηναίου, ἐλαφρῶς συμπληρωθὲν ὑπό τοῦ π. Γερασίμου, ὡς πρῶτον Ἰδιόμελον καὶ τὰ δύο πλεονάζοντα Ἰδιόμελα τοῦ Μηναίου (εἰς τὰ Ἀπό-

www.tezaurliturgic.ro

στιχα τοῦ Ἑσπερινοῦ τὸ ἓν καὶ εἰς τοὺς Αἴνους τὸ ἕτερον εὑρισκόμενα), τοῦ δευτέρου χρησιμοποιηθέντος ὡς Δοξαστικοῦ.

- Ἀπολυτίκιον ἐθέσαμεν τὸ παλαιὸν καὶ στερεότυπον "Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ", ὡς τὸ μόνον χρησιμοποιούμενον ὑφ' ἡμῶν ἔκπαλαι καὶ κατὰ παράδοσιν, γνωστὸν καὶ ἀρεστὸν τοῖς πᾶσι.
- Καθίσματα τοῦ Ὄρθρου, τὰ τοῦ π. Γερασίμου.
- Τὰ τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου, ὁμοίως.
- Κανὼν τοῦ Ὄρθρου ἀρκεῖ ὁ τοῦ Μηναίου, ποίημα Θεοφάνους, καὶ διὰ τὴν ἀκρίβειαν τῆς τάξεως προηγεῖται ὁ τῆς Μικρᾶς Παρακλήσεως Κανὼν τῆς Θεοτόκου.
- Διὰ δὲ τούς Αἴνους προεκρίναμεν τὰ ὑπό τοῦ π. Γερασίμου συντεθέντα διὰ τὸν Μικρὸν Ἑσπερινὸν τῆς ὡς ἄνω μνημονευθείσης Ἀκολουθίας τροπάρια, ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Εὐχῆς ἔργον εἶναι ὅπως, τὰ ἐξαίρετα ἀπὸ πάσης ἀπόψεως, Στιχηρὰ Προσόμοια τῶν Αἴνων τοῦ Μηναίου, κατὰ τὸ ἦχος α΄. Νεφέλην σε φωτός, τῶν ὁποίων ἐνδεχομένως τὸ μουσικὸν μέλος ἔχει λησμονηθεῖ (πρακτικῶς) καὶ διὰ τοῦτο δέν εἶναι ἀρεστὰ (ἆρα ἀπορριπταῖα;), νὰ ἐπανέλθουν εἰς χρῆσιν. Διὰ τοὺς γνώστας τῆς ἐκκλησιαστικῆς μας μουσικῆς εἶναι μία θαυμασία εὐκαιρία νά ἀναδιφήσουν εἰς τὰ βιβλία των καὶ νὰ τὰ ἐπαναφέρουν, πρὸς ἀποκατάστασιν τοῦ ὑμνολογικοῦ μας θησαυροῦ, ἱκανοποίησιν καὶ τέρψιν τῶν φιλακολούθων καὶ μουσικοφίλων.

Ὅσον ἀφορᾶ εἰς τὴν, κατόπιν ἐπιθυμίας πολλῶν, παράλληλον ἔκδοσιν ὑφ' ἡμῶν καὶ τοῦ Παρακλητικοῦ Κανόνος εἰς τὸν Ἅγιον ἔνδοξον Ἀπόστολον καὶ Εὐαγγελιστὴν Λουκᾶν, σημειοῦμεν τὰ ἀκόλουθα:

Τὸ ἔτος 2000, ἀπηυθύνθημεν εἰς τὸν ἔγκριτον Ὑμνογράφον Δρ Χαραλάμπην Μ. Μπούσιαν, συνδεόμενον πνευματικῶς μετὰ τοῦ ἡμετέρου Ναοῦ, διὰ τοῦ ἀειμνήστου ἁγίου Γέροντος π. Ἀγαθαγγέλου Μιχαηλίδου, ὅστις εὐόρκως, ὡς γνωστόν, ὑπηρέτησεν ἐπὶ 15ετίαν ὅλην εἰς τὸν Ἅγιον Λουκᾶν Πατησίων καὶ τὸν παρεκαλέσαμεν, ὅπως προβῇ εἰς τὴν σύνθεσιν Παρακλητικοῦ Κανόνος διὰ τὸν Ναόν, πρὸς μελλοντικὴν ἔκδοσιν πλήρους Ἀκολουθίας.

Ἐκεῖνος εὐχαρίστως ἀπεδέχθη καὶ διὰ τούς ἀνωτέρω ἐπιπλέον ἐκτεθέντας λόγους. Μᾶς ἐδήλωσεν δέ, ὅτι τὴν ἔχει σχεδὸν ἑτοίμην, ἐπειδὴ πρὸ ἐτῶν τὴν εἶχε συντάξει διὰ τὴν Ἱερὰν Μονὴν Κύκκου τῆς Κύπρου, ἔνθα, ὡς γνωστὸν, φυλάσσεται ἡ περίπυστος Ἱερά Εἰκὼν τῆς Παναγίας τῆς Κυκκωτίσσης, ἔργον, κατὰ παράδοσιν, τοῦ Εὐαγγελιστοῦ Λουκᾶ.

Κατόπιν διορθώσεών τινων, μᾶς ἐνεχείρισεν τὸν Παρακλητικὸν Κανόνα.

Εἶναι προφανές, ὅτι εἰς πλεῖστα τῶν τροπαρίων τῆς ἐν λόγῳ Ὑμνογραφίας,

www.tezaurliturgic.ro

τὸ κυριαρχοῦν θέμα εἶναι ἡ ἱστόρησις τῆς Εἰκόνος τῆς Θεοτόκου ὑπὸ τοῦ Εὐαγγελιστοῦ, χαρακτηριζομένου ὡς ζωγράφου Αὐτῆς, κατὰ τὴν παράδοσιν, ἂν καὶ εἰς τὴν Ἀκολουθίαν τοῦ Μηναίου καὶ εἰς τὸ πλῆθος τῶν τροπαρίων αὐτῆς, οὐδεμία τοιαύτη ἀναφορά γίνεται, εἰ μή μόνον εἰς τὸ Ἐξαποστειλάριον.

Εὐχαρίστως ὅμως ἐκδίδομεν τὸν ὑπό τοῦ σεβαστοῦ καί ἀγαπητοῦ μας κ. Καθηγητοῦ Δρ Χαραλάμπους Μ. Μπούσια, συνταχθέντα Παρακλητικὸν Κανόνα.

www.tezaurliturgic.ro

# ΤΗ͂ ΙΗ΄ ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ

Μνήμη τοῦ ἁγίου Ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄, καί ψάλλομεν τὰ παρόντα προσόμοια Στιχηρὰ τοῦ Ἀποστόλου.

Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν.

Τί σε ὀνομάσω Ἀπόστολε; οὐρανόν, ὅτι τὴν δόξαν, διηγήσω τοῦ Θεοῦ· ἀστραπήν, ὅτι τὸν κόσμον καταυγάζεις φωτισμῷ· νεφέλην, ἐπομβροῦσαν θεῖα νάματα· κρατῆρα, τῆς σοφίας ἐνθεώτατον, οἶνον ἡμῖν ἀναβρύοντα, τὸν τὰς καρδίας εὐφραίνοντα. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσείπω θεόληπτε; ποταμόν, ἐκ Παραδείσου προερχόμενον ἡμῖν· κιβωτὸν τῆς διαθήκης, ἥν διέθετο Χριστός· φωστῆρα, νοητὸν φῶς ἀπαστράπτοντα· λυχνίαν, Ἐκκλησίαν καταυγάζουσαν· ἄρτον ζωῆς, θείαν τράπεζαν, ποτήριον θείου Πνεύματος. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν θεόπτα καλέσωμεν; λειτουργὸν τῶν μυστηρίων, δραστικώτατον Χριστοῦ· τῆς σκηνῆς τῆς νοουμένης, ἀρχιτέκτονα σοφόν, τὰς πλάκας, λατομοῦντα τὰς τῆς χάριτος, τὸν νόμον, γεγραφότα τὸν καινότατον, τὸν ἐκ Σιών προερχόμενον, καὶ διὰ σου κηρυττόμενον. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχάς ἡμῶν.

Τί σε καλέσωμεν ἔνδοξε; θησαυρὸν τῶν οὐρανίων, χαρισμάτων ἀσφαλῆ· ἰατρόν καί τῶν ψυχῶν, καί τῶν σωμάτων ἀκριβῆ· τοῦ Παύλου, συνεργάτην καὶ συνέκδημον, τὰς πράξεις, Ἀποστόλων ἐκτιθέμενον. Πολλὰ Λουκᾶ τὰ ὀνόματα, ἡ ἀρετή σοι πεποίηκεν. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε θεοῤῥῆμον προσφθέγξομαι; Μαθητὴν ὅτι ἡμῖν, εὐηγγελίσω τὸν Χριστόν· ἰατρὸν ὅτι τὰ πάθη, θεραπεύεις τῶν ψυχῶν· λυχνίαν, νοητὴν φῶς ἀπαστράψασαν· κρηπῖδα, καὶ θεμέλιον τῆς πίστεως· σύ γὰρ ἡμῖν διεχάραξας, τὸ πάνσεπτον Εὐαγγέλιον. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσείπω θαυμάσιε; θεωρὸν τῶν τῆς σοφίας, διδαγμάτων ἀψευδῆ; συγγραφέα πρακτικόν, τῆς Ἀποστόλων διδαχῆς, καὶ στῦλον, εὐσεβείας ἀκατάσειστον, ἢ πύργον Ἐκκλησίας ἀκατάλυτον; Πολλά σου τὰ προτερήματα, καί μείζονα τά χαρίσματα. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. Β΄. Ἀνατολίου.

Ἀπόστολε Χριστοῦ, καὶ τῶν θείων δογμάτων συγγραφεῦ, καὶ τῆς Ἐκκλησίας ἑδραίωμα· σὺ ὡς ἀληθῶς, τὰς ἐν ζόφῳ τῆς ἀγνωσίας καρδίας, εἰσδυσάσας ἐν τῷ βυθῷ τῆς ἀπωλείας, ἑλκύσας θεηγορίαις, διέσωσας ὡς ἐκ σάλου τρικυμίας, ὀπαδὸς γενόμενος τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου, ἀλλὰ καὶ μιμητής. Ὅθεν αἰτοῦμέν σε, Λουκᾶ ἀξιάγαστε, τῶν Ἀντιοχέων τό ἐγκαλλώπισμα. Πρέσβευε τῷ Σωτῆρι καί Θεῷ, ὑπὲρ τῶν πίστει ἐκτελούντων τὴν ἀεισέβαστον μνήμην σου.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι᾿ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾿ ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας, καί τά ἀναγνώσματα.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. (α´ 1-8)

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι᾿ ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ᾿ ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς.

www.tezaurliturgic.ro

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. (ις´ 4,5,8-12)

Ἐν ταῖς ἡμέραις ἐκείναις Παῦλος καὶ Τιμόθεος, ὡς διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ πρεσβυτέρων τῶν ἐν Ἱερουσαλήμ. Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. Παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς Τρῳάδα. Καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ· ἀνήρ τις ἦν Μακεδὼν ἑστώς, παρακαλῶν αὐτὸν καὶ λέγων· Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέντες οὖν ἀπὸ τῆς Τρῳάδος εὐθυδρομήσαμεν εἰς Σαμοθράκην, τῇ δὲ ἐπιούσῃ εἰς Νεάπολιν, ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις κολωνία.

Πρὸς Τιμόθεον Β´ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(γ´ 16-δ´ 11α)

Τέκνον Τιμόθεε, πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ. Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. Ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους κνηθόμενοι τὴν ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. Σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. Τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Σπούδασον

www.tezaurliturgic.ro

ἐλθεῖν πρός με ταχέως· Δημᾶς γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην, Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν· Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ.

Εἰς τὴν Λιτὴν. Ἰδιόμελα.
Ἦχος α΄.

Χριστοῦ τὸν μαθητὴν, τὸν τοῦ Εὐαγγελίου συγγραφέα σοφώτατον, τοῦ σκεύους τῆς ἐκλογῆς τὸν ὡραῖον χαρακτῆρα καὶ ἔμψυχον, πιστοί, οὗ ὁ ἔπαινος ἐν ταῖς Ἐκκλησίαις ἁπάσαις, Λουκᾶν τόν ἀπόστολον, ἐν ὕμνοις τιμήσωμεν· αὐτὸς γὰρ ἐκήρυξε τὰ τοῦ Θεοῦ θαυμάσια, τὰ παράδοξα, φωτίσας τοὺς ἐπὶ γῆς θεολογίας ταῖς ἀκτῖσι διὰ τῆς χάριτος, ἀπαύστως πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄. Βασιλείου.

Τῷ τῆς σοφίας ἁλιευτικῷ καλάμῳ, τῆς νοητῆς θαλάσσης, τὸν βυθὸν ἀνιχνεύων, ἐκ θανατηφόρου βυθοῦ, τὰς τῶν πιστῶν ψυχὰς ἐζώγρησας, Λουκᾶ παμμακάριστε. Ὅθεν τῷ Παύλῳ μαθητευθείς, ὅλην ἐκάθηρας τὴν σαυτοῦ καρδίαν, τῇ ἐπιλάμψει τοῦ Πνεύματος· καὶ τοῖς δόγμασί σου τά ἔθνη φωτίσας, τὰ τῶν παθῶν νοσήματα, τοῖς θαύμασιν ἰάτρευσας, Χριστὸν τὸν Θεόν ὑπὲρ ἡμῶν ἀεὶ δυσωπῶν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄. Λέοντος Μαΐστορος.

Δεῦτε πᾶσα κτίσις, τὸν ἀληθῶς ἰατρὸν πνευματικόν, καὶ τοῦ Σωτῆρος μαθητήν, Λουκᾶν τὸν ἀοίδιμον ἐν ᾠδαῖς εὐφημήσωμεν. Οὗτος γὰρ ἀθεΐας τὴν νόσον, τῷ ἐπιχρίσματι τῆς Χριστοῦ κολυμβήθρας ἐθεράπευσε· καὶ ποταμοὺς θεοβρύτων ναμάτων ἐκ στόματος, ἐψυχωμέναις χώραις, τοῦ Εὐαγγελίου κατήρδευσεν· ὅθεν ἐξῆλθε προφητικῶς ὁ φθόγγος αὐτοῦ εἰς τὴν οἰκουμένην· καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

www.tezaurliturgic.ro

Εἰς τὸν Στίχον, Στιχηρὰ προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χάρις τοῖς χείλεσί σου Λουκᾶ, πυρίνη γλώσση ἐξεχύθη Ἀπόστολε, καί γλῶσσα πυρὸς ἐδείχθης, λόγους ἐκπέμπων φωτὸς, τοῖς φωτὸς ἀξίοις τῷ κηρύγματι· βολίδας φλεγούσας δέ, τοῖς τὸ σκότος ποθήσασι, γράφων διδάσκων, τὸ σεπτὸν Εὐαγγέλιον· καὶ ὀσμή ζωῆς, τοῖς ζωήν ὄντως θέλουσιν, ὤφθης ὡς Παῦλος ἔφησεν, ὅν ἔσχες διδάσκαλον· ὀσμή θανάτου δὲ πάλιν, τοῖς μὴ ζωὴν ἀγαπήσασιν. Ἀλλ' ἡμῖν εἰρηνην, καὶ ζωὴν καὶ φῶς παράσχου, καὶ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Ἔγνωμεν ἐκ τῶν λόγων τῶν σῶν, καθάπερ εἶπας, τὴν τῶν λόγων ἀσφάλειαν, ὧν ἔφης ἐνθέως Μύστα· ἐπείπερ γράψαι ἡμῖν, περὶ τῶν πραγμάτων ἐπεχείρησας, ὧν πεπληροφόρησαι, καὶ καθώς σοι παρέδωκαν, οἱ πρὶν αὐτόπται, ὧν καὶ σὺ ἴσος γέγονας, ὑπηρέτης τε, τῆς τοῦ Λόγου σαρκώσεως, ὅν μετὰ τὴν Ἀνάστασιν, εἰς Ἐμμαούς ἔβλεψας, καὶ καιομένῃ καρδίᾳ, μετὰ Κλέοπα συνέφαγες. Αὐτοῦ θείας θέρμης, καὶ ἡμῶν τῶν σὲ τιμώντων, τὰς ψυχὰς πλήρωσον.

Στίχ. Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

Χαῖρε ὁ μόνος γράψας ἡμῖν, τὸ Χαῖρε χαίρων τῆς Ἁγνῆς εὐαγγέλιον· καὶ ταύτην Κυριοτόκον, εἰπόντα τὸν Βαπτιστήν, ἐκ γαστρὸς οὗ γράφεις, καὶ τὴν σύλληψιν· καὶ Λόγου τὴν σάρκωσιν, πειρασμούς, καὶ τὰ θαύματα, λόγους καὶ πάθη, τὸν σταυρὸν καὶ τὸν θάνατον, καὶ τὴν ἔγερσιν, ἥν περ εἶδες καὶ ἄνοδον· Πνεύματός τε τὴν κάθοδον, Κηρύκων τὰς πράξεις τε, καὶ ἐξαιρέτως τοῦ Παῦλου, οὗ περ ἐδείχθης συνέκδημος, ἀκέστορ καὶ μύστα, καὶ φωστὴρ τῆς Ἐκκλησίας, ἥν φρούρει πάντοτε.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. β´.

Πάνσοφε ἁλιεῦ, ἅγιε Μαθητά, ἐργάτα τοῦ Σωτῆρος, καὶ θρίαμβε τῶν αὐτοῦ παθημάτων· ὁ τὴν κτίσιν τῇ πίστει διαδραμῶν, καὶ τῆς πλάνης τὰ ἔθνη συναγαγών, καὶ Θεῷ προσενέγκας, ὡς θυμίαμα καλόν, εἰς οὐρανοὺς εὐωδώθης. Διὸ παριστάμενος τῷ Κριτῇ, πρέσβευε ῥυσθῆναι ἡμᾶς τῶν ἀνομιῶν ἡμῶν, καὶ ἐν ἡμέρᾳ κρίσεως, λυτρωθῆναι τῆς κολάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος γ´.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, Κάθισμα. Γερασίμου.
Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιον εὑρὼν Παῦλον τὸν θεηγόρον, ηὐγάσθης παρ᾽ αὐτοῦ, τῇ τοῦ Πνεύματος αἴγλῃ, καὶ θεῖος ἀπόστολος, τοῦ Χριστοῦ ἐχρημάτισας· τὴν σοφίαν γὰρ τὴν ἀληθῆ ἀγαπήσας, ἀπεμώρανας τὴν κοσμικὴν ἀγνωσίαν, τῷ θείῳ κηρύγματι.

Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Εἰς τὴν σύμπασαν κτίσιν ὁ θεῖος φθόγγος σου, ἐξεχύθη, ὡς φέγγος ζωῆς, ἀπόστολε, καὶ τῶν δογμάτων σου, Λουκᾶ, ταῖς ἐπιλάμψεσιν, ἀνακηρύττει ἐμφανῶς, τοῖς ἐν ζόφῳ τῶν δεινῶν, τὴν γέννησιν τοῦ Σωτῆρος, καὶ τὸ ἑκούσιον πάθος, καὶ τὴν τριήμερον ἀνάστασιν.

Καί νῦν. Θεοτοκίον.

Τῆς ἁγνῆς Θεοτόκου καὶ θεομήτορος, τῆς τεκούσης τὸν Λόγον τοῦ προανάρχου Πατρός, τὸν χαρακτῆρα τῆς μορφῆς, ὡς καθιστόρησας, ταύτῃ παρέστησας αὐτόν, ἥτις ἐβόησε Λουκᾶ· Ἡ χάρις εἴη ἐν τούτῳ, τοῦ ἐξ ἐμοῦ γεννηθέντος, πρὸς σωτηρίαν πάσης κτίσεως.

Μετά τήν β´ στιχολογίαν, Κάθισμα. Γερασίμου.
Ἦχος δ´. Ταχὺ προκατάλαβε.

Τοῦ Λόγου ἀπόστολος καὶ ὑπηρέτης σοφός, τοῦ Παύλου συνέκδημος καὶ φοιτητὴς ἱερός, Λουκᾶ, ἐχρημάτισας· τούτου γάρ ἀνενδότως ἠκολούθεις τοῖς τρόποις, γράφων, ὡς ζωῆς ῥήσεις, τοὺς αὐτοῦ θείους λόγους, οὓς νῦν ἡ Ἐκκλησία κατέχουσα τέρπεται.

Δόξα. Τό αὐτό.
Καί νῦν. Θεοτοκίον.

Ὡς θάλαμος πάμφωτος τὸν Θεὸν Λόγον χωρεῖς, ὡς τράπεζα ἔμψυχος ἐν ταῖς χερσὶ σου κρατεῖς, τὸν πάντα βαστάζοντα· τοῦτον, ἁγνή, δυσώπει, ἐκ χειρὸς ἀλλοτρίου, ῥῦσαί με καὶ τῷ θείῳ καταυγάσει με φέγγει· σοὶ γὰρ ἀπὸ καρδίας, κόρη, προσέδραμον.

Μετὰ τὸν πολυέλεον, Κάθισμα. Γερασίμου.
Ἦχος πλ. δ´. Τὴν σοφίαν καὶ Λόγον.

Τῆς Ἐδὲμ ὁ θεόβρυτος ποταμός, ὁ τὴν γῆν καταρδεύων πνευματικῶς, Λουκᾶς ὁ θεόσοφος, ἀνυμνείσθω ἐν ᾄσμασι, τὸ τοῦ εὐαγγελίου θεόπνευστον ὄργανον, τὸ ἐκφωνοῦν τῇ κτίσει Τριάδος ἐπίγνωσιν· σήμερον γὰρ ὤφθη τῇ σεπτῇ αὐτοῦ μνήμῃ, καὶ παύει νοσήματα καὶ διώκει τὰ πνεύματα, καὶ ἰᾶται τοὺς κράζοντας. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐφημοῦσί σε πόθῳ, ἀπόστολε ἔνδοξε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Υἱοῦ σου Παρθένε ταῖς ἀστραπαῖς, ἀποστόλων ὁ θίασος πυρσωθείς, φῶς θεῖον γεγένηται ἐν λυχνίᾳ ὁρώμενον, καὶ τῇ θεογνωσίᾳ φωτίζον τὰ σύμπαντα, καὶ ἅλας θεραπεῦον ψυχῶν τὰ ἑλκώματα. Ὅθεν ἐκδυσώπει σὺν αὐτοῖς, Θεοτόκε, ῥυσθῆναι κολάσεως, καὶ τυχεῖν θείας χάριτος, τοὺς ἐν πίστει βοῶντάς σοι· χαῖρε ὄρος πῖον Θεοῦ, χαῖρε θεῖον τοῦ Λόγου ἀλάβαστρον, χαῖρε τῆς παρθενίας, λειμὼν ὁ μυρίπνοος.

Οἱ Ἀναβαθμοί
Τὸ Α´ ἀντίφωνον τοῦ δ´ ἤχου.
Προκείμενον. Ἦχος δ´.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ρήματα αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

Πᾶσα πνοή...
Εὐαγγέλιον κατά Λουκᾶν. (Θ´, 1-6)

Τῷ καιρῷ ἐκείνῳ συγκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν· καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας, καὶ εἶπε πρὸς αὐτούς· Μηδέν αἴρετε εἰς τὴν ὁδόν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. Καὶ εἰς ἥν ἄν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε καὶ ἐκεῖθεν ἐξέρχεσθε. Καὶ ὅσοι ἄν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε, εἰς μαρτύριον ἐπ᾽ αὐτούς. Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

Ὁ Ν´ Ψαλμός

Δόξα.

Ταῖς τοῦ ἀποστόλου πρεσβείαις, ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον,
Ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro

Ἰδιόμελον. Ἦχος πλ. β΄. Γερασίμου.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατά τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

Σήμερον, ὁ τῆς κενώσεως τοῦ Λόγου ἑρμηνεὺς καὶ τοῦ Εὐαγγελίου συγγραφεύς ἱερός, Λουκᾶς ὁ ἀπόστολος, ὡς πηγὴ ἐξ οἴκου Κυρίου τῇ οἰκουμένῃ προέρχεται· ἀρυσώμεθα οὖν πάντες ἀφθαρσίας ὕδωρ καὶ τῷ Σωτῆρι βοήσωμεν· Ὁ κρατὴρ τῆς ζωῆς, Ὑπερούσιε Θεότης, ταῖς τοῦ ἀποστόλου σου πρεσβείαις, ἀποκάθαρον ἡμᾶς ἐκ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος.

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς δ΄ καὶ τοῦ Ἀποστόλου ὁ παρὼν εἰς ς΄. Ποίημα Θεοφάνους

.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἡ κεκομμένη.

Τῆς ἀνωτάτω σοφίας τὸ στόμα σου, κρατῆρα θεῖον σοφέ, πάντες ἐπιστάμενοι, Ἀπόστολε Λουκᾶ, τὸν μέγαν καὶ ἀπόῤῥητον, τῆς χάριτος πλουτοῦντες θησαυρόν, προθύμως ἀρυόμεθα, τῷ Κυρίῳ ψάλλοντες· Ἐνδόξως γὰρ δεδόξασται.

Μυσταγωγῶν σε Χριστὸς τὰ οὐράνια, καὶ θεοπνεύστους γραφάς, ἀμέσως διανοίγων σοι Ἀπόστολε Λουκᾶ, καὶ μύστην ἀναδείκνυσι, καὶ κήρυκα σοφὸν τῶν ὑπὲρ νοῦν, εὐτόνως ἀνακράζοντα· Τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Χειροτονεῖ σε τῷ Παύλῳ συνέκδημον, ἡ Ἐκκλησία Χριστοῦ, Λουκᾶ παμμακάριστε, τῇ χάριτι αὐτοῦ ἐνθέως διαλάμποντα, ἑπόμενόν τε ἴχνεσιν αὐτοῦ, καὶ συνανακράζοντα· Τῷ Κυρίῳ ᾄσωμεν ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον

Τῆς ἀνεκφράστου καὶ θείας συλλήψεως, τῆς πανυμνήτου Ἁγνῆς, τὸν τρόπον διεσάφησας, Ἀπόστολε Λουκᾶ· τὸ Πνεῦμα τὸ Πανάγιον, ἐλήλυθε σαφῶς γὰρ ἐπ᾽ αὐτήν, καὶ Λόγος ἐπεσκίασεν, ᾧ συμφώνως ψάλλομεν· Ἐνδόξως γὰρ δεδόξασται.

Καταβασία· Ἀνοίξω τὸ στόμα μου.

Ὠδή γ΄. Σύ εἶ τό στερέωμα.

Σοῦ τὸ Εὐαγγέλιον, Λουκᾶ θεσπέσιε ἄνωθεν, Ἀνατολήν, ἐπισκεψαμένην, τοὺς ἀνθρώπους παρίστησι.

Πράξεις ἐνθεώτατα, διαπραττόμενος ἄριστε, πανευσεβῶς, τὰς τῶν Ἀποστόλων, γραφικῶς ἀνιστόρησας.

Παῦλος ὁ μακάριος, τῶν ἐγκωμίων σοι ἔπλεξε, τὰς ἀπαρχάς, καὶ τοὺς σοὺς ἐπαίνους, ἐπιστέλλων ἐξέθετο.

Θεοτοκίον

Σέ νῦν μακαρίζουσιν, ὡς προεφήτευσας Ἄχραντε, αἱ γενεαί, πᾶσι τῶν ἀνθρώπων, διὰ σοῦ νῦν σῳζόμεναι.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Ὡς συνέκδημος Παύλου ἀναδειχθείς, τοὺς ποικίλους κινδύνους καρτερικῶς, ὑπέμεινας πανεύφημε, τοῦ Κυρίου Ἀπόστολε· καὶ τὸν δρόμον ἀθλήσει, τελέσας τῆς πίστεως, σὺν αὐτῷ ἐν ὑψίστοις, εὐφραίνει μακάριε· ὅθεν καὶ τῷ κόσμῳ, τὸ Χριστοῦ Εὐαγγέλιον, κηρύξας ἐφώτισας, τὴν ὑφήλιον ἅπασαν, Λουκᾶ πανσεβάσμιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τήν ἀκατάφλεκτον βάτον, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν ἀνάκλησιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καί ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. Διὰ τοῦτο βοῶμεν αὐτῇ· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄχραντον τόκον σου.

www.tezaurliturgic.ro

Ὠδή δ΄. Ἐπέβης ἐφ' ἵππους.

Ὡς ὤφθης τῇ αἴγλῃ, πεφωτισμένος τοῦ Πνεύματος, ἠξιώθης χερσί σου τούς νόμους αὐτοῦ, τοῖς θεοφίλοις ἄριστα διατυπώσασθαι, τοῖς πιστῶς μελῳδοῦσι· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἡ χάρις εὑροῦσα, τοῦ Παρακλήτου σε σκήνωμα, ἐξεχύθη πλουσίως σοῖς χείλεσι, καὶ τῆς εἰρήνης κήρυκα πᾶσιν ἀνέδειξε, τοῖς πιστῶς μελῳδοῦσι· Δόξα τῇ δυνάμει σου Κύριε.

Ἀγώνων τῷ Παύλῳ, ὡς κοινωνὸς ὤφθης ἔνδοξε, καὶ στεφάνων ἐνδίκως ἠξίωσαι, τῆς βασιλείας· ἔνθα νῦν συναγαλλόμενοι, κραυγάζετε συμφώνως· Δόξα τῇ δυνάμει σου Κύριε.

Εὑρών σου τὸ κάλλος, τῆς διανοίας ὁ Κύριος, ὡς ταῖς θείαις ἀκτῖσιν, ὡραίως διαλαμπούσης, κήρυκά σε προχειρίζεται, τοῖς πίστει μελῳδοῦσι· Δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον

Καθεῖλε δυνάστας, ἀπό τῶν θρόνων ὁ Κύριος, ἡ Παρθένος καί Μήτηρ ὡς ἔφησε· τοὺς δή πεινῶντας, θείων ἀγαθῶν ἐνέπλησεν, τοὺς πιστῶς μελῳδοῦντας· Δόξα τῇ δυνάμει σου Κύριε.

Καταβασία· Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Φῶς τὸ νοητόν, τῇ καρδίᾳ σου δεξάμενος, τῶν μολυσμάτων ἐκ τῶν πρὶν καθαρθείς, ἀγάπης νόμῳ, τοῖς πᾶσι Λουκᾶ μετέδωκας.

Σὺ ταῖς ἀστραπαῖς, ταῖς τῆς χάριτος πανόλβιε, κατηυγασμένος καθωράθης σαφῶς, πυρίνῃ γλώσσῃ, ἐνθέως Λουκᾶ φθεγγόμενος.

Παύλῳ τῷ σοφῷ, συνοδεύειν ἐπεπόθησας· ἀγαπητὸς γὰρ προσηγόρευσαι, ὡς ὑπηρέτης, Εὐαγγελιστὰ τῆς χάριτος.

www.tezaurliturgic.ro

Θεοτοκίον

Χαίροις ἀληθῶς, παρθενίας τὸ κειμήλιον, ἡ τῆς Προμήτορος ἀνάκλησις, καὶ τῆς κατάρας, ἡ λύσις τῆς τοῦ Προπάτορος.

Καταβασία· Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Εἰς ὄρος τῶν ἀρετῶν Ἀπόστολε, ἀναβὰς τῷ ποθουμένῳ ὡμίλεις· καί ὡς Μωσῆς, θεογράφους τὰς πλάκας, ἐγγεγραμμένας δακτύλῳ τοῦ Πνεύματος, ἐδέξω μακάριε διττάς, Λουκᾶ τῆς οἰκουμένης διδάσκαλε.

Τὸν κόσμον σαῖς διδαχαῖς ἐφώτισας, οἷα ῥήτωρ τῆς σεπτῆς Ἐκκλησίας· ταῖς γὰρ αὐγαῖς, τῆς ἀκτίστου Τριάδος, πεπυρσευμένος ὡράθης Θεόληπτε, καὶ γέγονας ὥσπερ ἀστήρ, δᾳδουχῶν οἰκουμένης τὰ πέρατα.

Τὰς νόσους νῦν τῶν ψυχῶν θεόπνευστε, ἰατρεύεις τῶν σωμάτων ὡς πάλαι, ἐμπιστευθείς, οὐρανόθεν τὸ δῶρον, καὶ ὡς πλουτήσας τὴν χάριν τοῦ Πνεύματος· ὁ Παῦλος γάρ σε μαρτυρῶν, ἰατρόν γεγονέναι παρίστησιν.

Θεοτοκίον

Ἐπέβλεψεν ἐπὶ σὲ ὁ Κύριος, τὴν ἐμὴν ἀνακαινίζων οὐσίαν, ὡς δυνατός, μεγαλεῖα ποιήσας, Θεογεννῆτορ ὡς ἔφης Πανάμωμε· καὶ ἔσωσέ με διὰ σοῦ, ἐκ φθορᾶς ὡς Θεός καί φιλάνθρωπος.

Καταβασία· Τὴν θείαν ταύτην καὶ πάντιμον.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Μαθητὴς γενόμενος τοῦ Θεοῦ Λόγου, σὺν τῷ Παύλῳ ἅπασαν, ἐφωταγώγησας τὴν γῆν, καὶ τὴν ἀχλὺν ἀπεδίωξας, τὸ θεῖον γράψας, Χριστοῦ Εὐαγγέλιον.

www.tezaurliturgic.ro

## Ὁ Οἶκος

Ὡς ἰατρός καὶ μαθητὴς Λουκᾶ ἠγαπημένος, μυστικῇ χειρουργίᾳ, τά πάθη τῆς ψυχῆς μου καὶ τὰ τοῦ σώματος ὁμοῦ ἴασαι, καὶ δός μοι κατὰ πάντα εὐεκτεῖν, καὶ σοῦ τὴν πανοαοίδιμον γηθόμενος γεραίρειν πανήγυριν· ὄμβροις τε δακρύων, ἀντὶ μύρων τὸ σεπτόν σου καὶ πάντιμον σῶμα καταβρέχειν· ὡς στήλη γὰρ ζωῆς ἐγγεγραμμένη τῷ ναῷ τῷ θαυμαστῷ τῶν Ἀποστόλων πᾶσιν ἐκφωνεῖ, καθάπερ καὶ σὺ τὸ πρῶτον, τὸ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

## Συναξάριον

Τῇ ΙΗ´ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου Ἀποστόλου καί Εὐαγγελιστοῦ Λουκᾶ.

Στίχ. Εἰς Ἐμμαούς βλέπειν σε κἄν πρὶν εἰργόμην,
(Λουκᾶς λέγει), τρανῶς σε νῦν, Χριστέ, βλέπω.
Ὀγδοάτη δεκάτη πέρατος βίου ἔμμορε Λουκᾶς.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Μάρτυρος Μαρίνου τοῦ γέροντος.

Στίχ. Γέρων Μαρῖνος ἐξελέγχει γραῦν πλάνην,
Τόλμη νεάζων, καί τελειοῦται ξίφει.

Τῇ αὐτῇ ἡμέρα μνήμη τοῦ ὁσίου πατρός ἡμῶν Ἰουλιανοῦ, τοῦ ἐν τῷ Εὐφράτη.

Στίχ. Ἐκ τοῦ παρατρέχοντος ὡς ὄναρ βίου,
Ἰουλιανός ἄσμενος παρατρέχει.

Ὁ ἅγιος Μνάσων, Ἐπίσκοπος Κύπρου, καὶ οἱ ἅγιοι Τεσσαράκοντα Παῖδες, ξίφει τελειοῦνται.

Στίχ. Ὡς πύργος ἐνδούς, τὴν κάραν κλίνας Μνάσων
Πτῶσιν πρό τῆς γῆς τὴν ἀπό ξίφους μένει.

www.tezaurliturgic.ro

Παίδων διπλῆ τέθνηκεν εἰκὰς ἐκ ξίφους,
Τιμῶσα Χριστὸν τὸν διπλοῦν κατ᾽ οὐσίαν.

Μνήμη τῶν ἁγίων νεοφανῶν Μαρτύρων Γαβριὴλ καὶ Κερμιδώλη τῶν ἐν Αἰγύπτῳ ἀθλησάντων ἐν ἔτει 1522.

Στίχ. Κερμιδώλης καί Γαβριήλ οἱ δυό
Ἀθλοῦσιν ἅμα καί στεφανοῦνται ἅμα.

Μνήμη τῶν ὁσίων Πατέρων ἡμῶν Συμεών καί Θεοδώρου, καί τῆς Ὁσίας Εὐφροσύνης, τῶν τήν ἁγίαν καί θεομητορικήν εἰκόνα εὑρόντων καί τήν τοῦ Μεγάλου Σπηλαίου Μονήν συστησαμένων.

Στίχ. Συμεών, Θεόδωρος καί Εὐφροσύνη,
Θεράποντες ὤφθησαν τῆς Θεοτόκου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ΄. Παῖδες Ἑβραίων.

Ὤ πῶς Λουκᾷ τε καὶ Κλεόπᾳ, ἐμφανίζεται Δεσπότης ἐκ τοῦ τάφου! ἀναστὰς γὰρ αὐτούς, ἐδίδασκε κραυγάζειν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τούς αἰῶνας.

Τρίβον τοῦ βίου διατρέχων, συνοδεύοντα τὸν Λόγον εὗρες μάκαρ, οὐρανίων σκηνῶν, ἀνοίγοντά σοι πύλας. Εὐλογητός εἶ κράζοντι, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Λύρα τοῦ Πνεύματος ἐδείχθης, μελῳδήματα θεόθεν φθεγγομένη, τοὺς ἀνθρώπους Λουκᾶ, φωτίζουσα βοῶντας· Εὐλογητός εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Χαῖρε Μαρία Θεοτόκε, ὁ Ἀσώματος ἐβόα σοι Παρθένε· σὺν αὐτῷ δὲ πιστοί, βοῶμέν σου τῷ τόκῳ· Εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

www.tezaurliturgic.ro

Καταβασία· Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ὠδή η΄. Τόν ἐν ὄρει, ἁγίῳ.

Θεογράφους, ὡς πλάκας δεδεγμένοι, τὰς σὰς βίβλους, πιστῶς κατατρυφῶμεν, τοῦ φωτισμοῦ τῆς χάριτος πανόλβιε, Κύριον ὑμνοῦντες καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ὀργάνῳ, τό πνεῦμά σου τῇ γλώττῃ, κεχρημένον, φωτίζει τοὺς ἀνθρώπους, μυσταγωγοῦν τῆς χάριτος τὰ δόγματα, Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Θεοπλόκῳ, σαγήνῃ σου τῶν λόγων, θεοκῆρυξ, τούς πλάνῃ κρατουμένους, πρὸς φωτισμὸν τῆς πίστεως ἐζώγρησας, Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Ἐλισάβετ, Μητέρα σε Κυρίου, προσεφώνει, Προφῆτις δεδειγμένη, τόν Βαπτιστήν καί Πρόδρομον βαστάζουσα· Κύριον ὑμνεῖτε, καί ὑπερυψοῦτε, βοῶσα εἰς αἰῶνας.

Καταβασία· Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδή θ΄. Ὄρους παρῆλθες.

Ἔσοπτρον; Ἔστης Λουκᾶ τῆς ἐφέσεως, τὸ τῶν ὀρεκτῶν οἷα φθάσας τὸ ἔσχατον, καὶ τέλους μακαρίου σαφῶς ἐπέτυχες, λυθέντων τῶν ἐσόπτρων, τῆς ἀληθείας ταῖς ἐμφάσεσι.

Λάμψας τῷ κόσμῳ ὡς ἥλιος, ἐνθεαστικῶς τῇ Τριάδι παρίστασαι, σύν Παύλῳ τῷ θεόπτῃ, Λουκᾶ πανεύφημε· μεθ᾽ οὗ σε θεοφάντορ, ἀκαταπαύστως μεγαλύνομεν.

Αἴγλῃ Λουκᾶ τῇ φωσφόρῳ σου, τοὺς σοὺς ὑμνητάς φαιδρυνθῆναι δυσώπησον, καὶ κόσμῳ τὴν εἰρήνην παμμάκαρ βράβευσον, ὅπως σε θεηγόρε, ἀκαταπαύστως μεγαλύνομεν.

www.tezaurliturgic.ro

Χαίρων Λουκᾶ νῦν παρίστασαι, τῷ παμβασιλεῖ τῷ στεφάνῳ κοσμούμενος τῆς θείας εὐπρεπείας καὶ ὡραιότητος· διό σε θεοῤῥῆμον, ἀκαταπαύστως μεγαλύνομεν.

Θεοτοκίον

Λόγον ἐδέξω τὸν ἄσαρκον, φύσιν τὴν ἐμὴν ἀναπλᾶσαι βουλόμενον, καὶ τοῦτον σαρκωθέντα Παρθένε τέτοκας· διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Καταβασία· Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Λουκᾶ Χριστοῦ Ἀπόστολε, μύστα τῶν ἀποῤῥήτων, καὶ τῶν ἐθνῶν Διδάσκαλε, μετὰ Παύλου τοῦ θείου, καὶ τῆς ἁγνῆς Θεοτόκου, ἧς τὴν θείαν εἰκόνα, ἐκ πόθου ἀνιστόρησας, ἐκδυσώπει θεόπτα, ὑπέρ ἡμῶν, τῶν μακαριζόντων σε καὶ τιμώντων, τὴν ἱεράν σου κοίμησιν, πάνσοφε μυστολέκτα.

Θεοτοκίον

Δέσποινα πάντων Ἄνασσα, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας, μὴ Σατὰν ἡμᾶς λάβῃ, μὴ Ἅδης μή ἀπώλεια· ἀλλὰ τῷ τοῦ Υἱοῦ σου, τότε φρικτῷ, ἀνευθύνως παραστῶμεν· ὡς Θεομήτωρ γὰρ ἁγνή, ὅσα θέλεις ἀνύεις.

Εἰς τούς Αἴνους
Ἱστῶμεν Στίχους δ´ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια.
Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων. Γερασίμου.

Τῷ θεορρημόνι Παύλῳ φοιτήσας, ἔνδοξε, τῶν ὑπὲρ νοῦν δογμάτων θεηγόρος ἐκφάντωρ, καὶ θεῖος ὑποφήτης τῆς τοῦ Χριστοῦ, ἀνεδείχθης σαρκώσεως, τῶν ἀποστόλων συνάριθμος γεγονώς, Λουκᾶ, θεῖον ἐνδιαίτημα.

www.tezaurliturgic.ro

Τοῦ Παρακλήτου τὴν χάριν, Λουκᾶ, δεξάμενος, ὡς ἥλιος ἐκλάμπεις τοῖς ἐν σκότει τῆς πλάνης, καὶ πᾶσι τὴν σωτήριον δαδουχῶν, εὐσεβείας ἐπίγνωσιν, υἱούς φωτός ἀπειργάσω τοὺς ἐν νυκτί, τῆς ἀγνοίας ἐγκαθεύδοντας.

Τῆς θεϊκῆς ἐπιπνοίας ῥήτωρ θεόσοφος, καὶ θεῖος ὀξυγράφος καὶ λαμπρὸς μυστολέκτης, ἐγένου, ἀνατάξας θεουργικῶς, τὸ σεπτὸν Εὐαγγέλιον, δι' οὗ ἀρδεύεις, ἀπόστολε, δαψιλῶς, Ἐκκλησίας τὰ βλαστήματα.

Τοῦ διδασκάλου τῷ θρόνῳ, Λουκᾶ ἀπόστολε, σὺν ἀποστόλοις θείοις παριστάμενος μάκαρ, ψυχῶν τὴν θεραπείαν, ὡς ἰατρός, καὶ σωμάτων τὴν ἴασιν, δίδου ἡμῖν, τοῖς ὑμνοῦσι χαρμονικῶς, τήν ἁγίαν σου μετάστασιν.

Δόξα. Ἦχος πλ. δ΄.

Δαυϊτικῶς συνελθόντες οἱ πιστοί ἐν ᾄσμασι, τῷ μυστικῷ ῥήτορι τοῦ Λόγου, Λουκᾶ ἐκβοήσωμεν· Ἡ γλῶσσά σου κάλαμος γραμματέως ἐδείχθη, Χριστοῦ τοῦ ὀξυγράφου, ὡραΐζουσα τὰς ὄψεις, πρὸς τὴν γνῶσιν τῶν ἐθνῶν, τῆς θείας ἐπιγνώσεως, ἐν ᾗ ἀνεκήρυξας τὸ Εὐαγγέλιον, καὶ τῶν συναποστόλων σου τὰς Πράξεις συνεγράψω. Διὸ παριστάμενος τῇ Τριάδι καὶ Θεῷ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη μῆτερ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν, Θεοτόκε, πρέσβευε, σωθῆναι τὰς ψυχάς ἡμῶν.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Εὐαγγελιστοῦ.

Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος πλ. δ΄. Ψαλμὸς ιη΄ (18).

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στίχ. Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Στίχ. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

Πρὸς Κολλασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(δ΄, 5-11, 14-18)

Ἀδελφοί, ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι, πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, σὺν Ὀνησίμῳ τῷ

www.tezaurliturgic.ro

πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς δέξασθε αὐτόν καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ Δημᾶς. Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς καὶ Νυμφᾶν καὶ τὴν κατ᾿ οἶκον αὐτοῦ ἐκκλησίαν. Καὶ ὅταν ἀναγνωσθῇ παρ᾿ ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. Καὶ εἴπατε Ἀρχίππῳ, Βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ᾿ ὑμῶν. Ἀμήν.

## Ἀλληλουάριον τοῦ Εὐαγγελίου. Ἦχος α΄. Ψαλμός πη΄ (88)

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Στίχ. Ὁ Θεὸς, ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

## Ἐκ τοῦ κατὰ Λουκᾶν. (ι΄, 16-21)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ

www.tezaurliturgic.ro

εἶπεν· Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πατήρ, ὅτι οὕτως εὐδοκία ἐγένετο ἔμπροσθέν σου.

Κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΑΠΟΣΤΟΛΟΝ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΗΝ ΛΟΥΚΑΝ

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

*******************************************

Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον,
μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν συνοδεύσαντα ὁμοῦ σὺν Κλεώπᾳ, τὸν ἀναστάντα ἐκ νεκρῶν Θεοῦ Λόγον, πρὸς Ἐμμαοὺς τιμήσωμεν Λουκᾶν τὸν σεπτόν, οὗ ψυχῆς διήνοιξεν ὀφθαλμοὺς θεία χάρις, γνῶναι τὸν Θεάνθρωπον καὶ Αὐτοῦ ἱστορῆσαι, τῶν θαυμασίων πλῆθος, ἐκτενῶς, βοῶντες· ἴσθι ἡμῶν βίου πρόμαχος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο

www.tezaurliturgic.ro

ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·

Λουκᾶ εὐαγγελιστά, ῥῦσαί με θλίψεων. Χ. Μ.

Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.

Λαμπόμενος Πνεύματος τῷ φωτί, τοῦ θείου πυρσεύεις, τὰς καρδίας χριστιανῶν, Λουκᾶ, καὶ σκοτόμαιναν διώκεις, τῆς ἀγνωσίας ἡμῶν τῶν τιμώντων σε.

Ὁ θεῖος ἀπόστολος τοῦ Χριστοῦ, Λουκᾶ, σοὺς ἱκέτας, ἀπὸ πάσης ἐπιβουλῆς, καὶ βλάβης ἀπήμονας ἐν βίῳ, τοῦ ἀρχεκάκου ἀεὶ διαφύλαττε.

Ὑψόθεν θερμῆς σου ἐπισκοπῆς, ἐφάπλωσον χάριν, τὴν ἀπείργουσαν καθ' ἡμῶν, μανίαν, Λουκᾶ, τοῦ μισοκάλου, ἵνα ὡς λύχνον τιμῶμέν σε χάριτος.

Θεοτοκίον.

Κυρία Παρθένε, σὺν τῷ Λουκᾷ, ἱστορήσαντί σου, τὴν εἰκόνα τὴν θαυμαστήν, πικρᾶς δυναστείας τοὺς σοὺς δούλους, τοῦ μισοκάλου ἡμᾶς ἀπολύτρωσαι.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἀνενδότως τοῦ Παύλου, τοῖς ἱεροῖς βήμασιν, ὁ ἀκολουθήσας καὶ τούτου, θεῖος συνέκδημος, Λουκᾶ θεόπτα, ὀφθεὶς, ἀκολουθῆσαι ταῖς τρίβοις, τοῦ Χριστοῦ ἀξίωσον, σοὶ τοὺς προστρέχοντας.

www.tezaurliturgic.ro

Ἐπταισμένων μου ῥύπον, τὸν ζοφερὸν κάθαρον, ῥυπτικαῖς λιταῖς σου πρὸς Κτίστην, τὸν ὑπεράγαθον, πνευματοφόρε Λουκᾶ, ἀγαπητὲ συνεργάτα, Παύλου καὶ ὑπέρσοφε, Λόγου ἀπόστολε.

Ὑπὲρ πάντων δυσώπει, τὸν εὐμενῆ Κύριον, τῶν ἀποζητούντων σὴν χάριν, ἵνα διώξωμεν, τῆς ἀγνωσίας, Λουκᾶ, καὶ τῆς κακίας ὁμίχλην, ἀκακίας λείριον, καὶ ῥόδον γνώσεως.

Θεοτοκίον.

Ἀσωμάτων λαμπρότης, Μῆτερ Θεοῦ, ἄχραντε, ταῖς λιταῖς Λουκᾶ, σὴν εἰκόνα, τοῦ ἱστορήσαντος, παῦσον πολέμους λαῶν, καὶ τὴν ζωὴν ἱκετῶν σου, Δέσποινα, εἰρήνευσον, τῶν εὐφημούντων σε.

Ἀοίδιμε, Λουκᾶ, τῷ θείῳ ἀγκίστρῳ Εὐαγγελίου, πάντας ἕλκυσον πρὸς Θεοῦ ἐπίγνωσιν, ἅγιε, ἐν βάθει τοὺς πλέοντας ἀγνωσίας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Λουκᾶ, μαθητὰ Χριστοῦ πνευματοφόρητε, σεμνὲ ἰατρέ, θεοειδὲς ἀπόστολε, ἁγνῆς Εὐαγγέλιον, Θεοτόκου ὁ γράψας καὶ θαύματα, καὶ πειρασμοὺς καὶ σταύρωσιν Χριστοῦ, γενοῦ βοηθὸς ἡμῖν ἐν κλύδωσι.

ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Γραμματέως ἡ γλῶσσά σου, ὀξυγράφου κάλαμος ὤφθη, πάνσοφε, συγγραφεῦ, Λουκᾶ ἀπόστολε, εὐσεβῶν ἰθῦντορ πρὸς τελείωσιν.

Γνῶσιν δίδου σωτήριον, σὲ, Λουκᾶ τρισμάκαρ, τοῖς μακαρίζουσιν, ἁλιέα ὡς ἀκάματον, τῶν ψυχῶν καὶ γνώσεως διδάσκαλον.

Εὐφροσύνης ἀξίωσον, θείας τοὺς προστρέχοντας τῇ σῇ χάριτι, ἰατρὲ Λουκᾶ καὶ Πράξεων, γραμματεῦ τῶν μαθητῶν τοῦ Κτίσαντος.

Θεοτοκίον.

Λύσιν αἴτησαι, Δέσποινα, πάσης δυσχερείας καὶ περιστάσεως, τοῖς προστρέχουσι τῇ σκέπῃ σου, καὶ πταισμάτων ἄφεσιν, Μητρόθεε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἴασαι ἡμῶν, τὴν ἀσθένειαν, ἀπόστολε, καὶ παράσχου μοι ἰσχύν, σοφὲ Λουκᾶ, ἐκπληρῶσαι Θεανθρώπου τὰ ἐντάλματα.

Στήριξον ἡμᾶς, θεμελίῳ τῷ τῆς πίστεως, ἰατρέ, Εὐαγγελίου συγγραφεῦ, πνευματέμφορε Λουκᾶ, θεοειδέστατε.

Τῶν πιστῶν ψυχὰς, τῷ καλάμῳ τῆς σοφίας σου, ὁ ζωγρήσας, ἐκ βυθοῦ ἀνομιῶν, ζώγρησόν με πρὸς ζωὴν τὴν αἰωνίζουσαν.

Θεοτοκίον.

Ἄξιόν ἐστι, μακαρίζειν σε, Παντάνασσα, τὴν προστάτιν καὶ βοήθειαν ἡμῶν, ἐν τοῦ βίου κατωδύνοις περιστάσεσι.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Ῥοῦν ξήρανον τῶν παθῶν, ἀπόστολε, ἱκετῶν σου ἱεραῖς ἐπομβρίαις, τῆς θείας χάριτος καὶ τῶν πταισμάτων, αἴτει ἡμῖν τὴν συγχώρησιν, ἔνθερμε, πιστῶν ἀκέστορ καὶ φρουρέ, θεοφόρε Λουκᾶ, ἱερώτατε.

Ὑφέρποντα ὄφιν κατασύντριψον, σῶν ἐντεύξεων, Λουκᾶ θεῖε, λόγχῃ, πρὸς τὸν Θεάνθρωπον, Οὗπερ τὴν γένναν, ἐν Βηθλεὲμ ὑπ᾽ ἁγνῆς περιέγραψας, τοῦ κατελθόντος ἐκ σκηνῶν, θεϊκῶν ἵνα σώσῃ τὸν ἄνθρωπον.

www.tezaurliturgic.ro

Σοφώτατε ἰατρὲ καὶ σύσκηνε, θείου Παύλου, θεοβρύτοις σου ῥείθροις, Εὐαγγελίου σεπτοῦ καταρδεύσας, τὴν οἰκουμένην, ψυχήν μου τὴν ἄνικμον, ἐξ ἔργων, οἴμοι, ἀγαθῶν, ἱκετεύω σε, ἅγιε, πίανον.

Λεόντων με νοητῶν ἀπάλλαξον, τῶν ζητούντων τὴν ψυχήν μου σπαράξαι, Λουκᾶ, τοῦ Λόγου Θεοῦ ὑπηρέτα, καὶ τῆς πανάγνου ζωγράφε θειότατε, Μητρὸς αὐτοῦ, ἵνα τρανῶς, τὴν σὴν χάριν γεραίρω ἀείποτε.

Θεοτοκίον.

Ἀστείρευτε ποταμὲ τῆς χάριτος, ὑπερύμνητε Κυρία Παρθένε, τοῦ ἱστορήσαντος σοῦ τὴν εἰκόνα, σεπτοῦ Λουκᾶ, ἱκεσίαις εὐλόγησον, τοὺς καταφεύγοντας ἀεὶ, τῇ ἐνθέρμῳ, πανάμωμε, σκέπῃ σου.

Ἀοίδιμε, Λουκᾶ, τῷ θείῳ ἀγκίστρῳ Εὐαγγελίου, πάντας ἕλκυσον πρὸς Θεοῦ ἐπίγνωσιν, ἅγιε, ἐν βάθει τοὺς πλέοντας ἀγνωσίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Τῶν Ἀποστόλων τὰς Πράξεις συγγράψαντα, καὶ τῆς Παρθένου μορφὴν ἱστορήσαντα, πνευματοφόρον Λουκᾶν εὐφημήσωμεν, ἀναβοῶντες· Χριστὸν καθικέτευε, ὑπὲρ σῶν προσφύγων, ἀπόστολε.

Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

www.tezaurliturgic.ro

Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. θ´ 1 -6).
Ζήτει τῷ Σαββάτῳ τῆς Ζ´ Ἑβδομάδος.

Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν...

Δόξα.

Ταῖς τοῦ ἀποστόλου πρεσβείαις, ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.

Ἄγρυπνε συνέκδημε, τοῦ θεοῤῥήμονος Παύλου, ἔνδοξε ἀπόστολε, ὁ σαλπίσας ἔθνεσιν, Εὐαγγέλιον, τὸ σεπτὸν ἅπασι, καὶ τῆς Θεοτόκου, ἱστορήσας τὸ ἐκτύπωμα, Κυρίῳ πρέσβευε, τῷ πανευϊλάτῳ Παντάνακτι, διδόναι τοῖς ἱκέταις σου, δύναμιν ἐχθροῦ θραῦσαι φρύαγμα, τοῦ ἡμᾶς βυθίσαι, ποθοῦντος εἰς βυθὸν ἁμαρτιῶν, τῶν χαμαιζήλων, θεσπέσιε, κῆρυξ θείας χάριτος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου.......

Ὠδὴ ζ´. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἰατρὲ θείου Παύλου, τῆς σαρκὸς καὶ ψυχῆς μου, τὰ ἀσθενήματα, θεράπευσον καὶ πᾶσιν, ὑγιείαν κατ᾽ ἄμφω, τοῖς ἱκέταις σου βράβευσον, τοῖς ἐκζητοῦσι, Λουκᾶ, τὰς σὰς θερμὰς πρεσβείας.

Μεγαλύνειν ἐν λόγοις, καὶ ἐν ἔργοις Κυρίου, τὸ μέγα ὄνομα, Λουκᾶ, ἀξίωσόν με, τὸν καταφεύγοντά σοι, καὶ τρανῶς σε γεραίροντα, ὡς

www.tezaurliturgic.ro

ἀποστόλων κλεινῶν, ὡράϊσμα καὶ κλέος.

Ἐξ ἀπάτης με ῥύου, πτερνιστοῦ τοῦ ἀρχαίου, τὸν ἐκδεχόμενον, ἀντίληψιν σὴν θείαν, Λουκᾶ πνευματοφόρε, ἰατρὲ καὶ ἀπόστολε, ὁ ἀγωγῇ ἀκραιφνεῖ, τὸν πλάνον θριαμβεύσας.

Θεοτοκίον.

Θεοτόκε Παρθένε, τοῦ Λουκᾶ ἱκεσίαις, τοῦ ἱστορήσαντος, τὴν σὴν σεπτὴν εἰκόνα, ἐπόμβριζε ὑψόθεν, ὑετὸν ἁγιάσματος, τοῖς σὲ ὑμνοῦσιν ἀεί, τὴν Κεχαριτωμένην.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Λουκᾶ θεόπτα, σὺν θείῳ Παύλῳ ἀξίως, σοὶ ἐγκώμιον πλέξαντι βίου, ἴσθι βοηθός μου, ταχὺς καὶ παραστάτης.

Ἰσχὺν παράσχου, ἡμῖν κατὰ τῶν ποικίλων, ἐπιθέσεων τοῦ ἀρχεκάκου, ἰατρῶν λαμπρότης, Λουκᾶ πνευματοφόρε.

Ψαλμοῖς καὶ ὕμνοις, σὲ μεγαλύνειν ἀπαύστως, εὐσεβῶν καταξίωσον δήμους, τοὺς ἐκδεχομένους, Λουκᾶ, τὴν ἀρωγήν σου.

Θεοτοκίον.

Ἐλέησόν με, καὶ δὸς κατάνυξιν, Μῆτερ, ἐν καρδίᾳ τοῦ δούλου σου, κράζω, Κεχαριτωμένη, Λουκᾶ θερμαῖς πρεσβείαις.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὡς νόμον τῆς ἀγάπης, πᾶσι μεταδόντα, Λουκᾶν, τιμῶντες ἐκθύμως κραυγάζομεν· ὀργῆς καὶ μίσους ὁμίχλην ἡμῶν διάλυσον.

Νῦν ὄμμασι ψυχῆς μου, συνοδοιποροῦντα, πρὸς Ἐμμαοὺς Ἰησοῦ, Λουκᾶ, βλέπων σε, βοῶ· βαδίσαι με τρίβους Αὐτοῦ ἀξίωσον.

Χαρᾶς, Λουκᾶ, καρδίαν, πλῆσον σοῦ ἱκέτου, ὁ χαρμονῆς οὐρανίου ἀνάπλεως, καὶ κληρονόμος ὑπάρχων ἀϊδιότητος.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Μετὰ τοῦ συγγραφέως, εὐαγγελισμοῦ σου, καὶ τῆς μορφῆς σου χαράκτου, Μητρόθεε, ὑπὲρ ἡμῶν ἐκδυσώπει τὸν θεῖον Τόκον σου.

Καὶ εὐθύς, τὸ

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

καὶ τὰ παρόντα Μεγαλυνάρια.

Δεῦτε, εὐφημήσωμεν εὐλαβῶς, Παύλου ἀποστόλου, τὸν θειότατον ἰατρὸν, καὶ ἐν ταῖς πορείαις, γενναῖον συνοδίτην, Λουκᾶν τὸν θεηγόρον, καὶ πνευματέμφορον.

Παύλου τὸν θειότατον φοιτητήν, ταπεινὸν οἰκέτην, καὶ συνέκδημον ἱερὸν, μέλψωμεν ἐκθύμως, Λουκᾶν, τὸν ἀνενδότως, αὐτοῦ τοῖς τρόποις πίστει, ἀκολουθήσαντα.

Λόγου τοῦ Ὑψίστου σεμνῆς μητρός, μέλψωμεν ζωγράφον, ὡς ἀσύλητον θησαυρὸν, Πνεύματος τοῦ θείου, καὶ ἀποστόλων γέρας, Λουκᾶν τὸν ὑψιπέτην, καὶ οὐρανόφρονα.

Δεῦτε, τὸν θεόσοφον ἰατρόν, τοῦ Εὐαγγελίου, συγγραφέα τὸν ἱερὸν, καὶ ζωγράφον θεῖον, μορφῆς τῆς Ἐλεούσης, Λουκᾶν πνευματοφόρον, ἀνευφημήσωμεν.

Πίστει καταφεύγοντες ἀκλινεῖ, σῇ ἁγίᾳ σκέπῃ, ἀποστόλων φῶς τηλαυγές, κράζομεν· σκοτίαν, ἐκδίωξον ἀγνοίας, σκοτίζουσαν καρδίας, φεῦ, τῆς νεότητος.

Ἀναργύρων κλέϊσμα ἰατρῶν, νόσους θεραπεύεις, ἀνιάτους σῶν ἱκετῶν, χάριτι δοθείσῃ, τῇ σῇ, Λουκᾶ, ὑψόθεν, ἀφθόνως· ὅθεν πάντες, σὲ μεγαλύνομεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Συνεργὸν θείου Παύλου, Λουκᾶν ἀπόστολον, δεσμίου Παύλου εἰς Ῥώμην, τὸν θεαυγῆ συνοδόν, ἰατῆρα ὡς ἀνάργυρον τιμήσωμεν, Εὐαγγελίου ἱερὸν, συγγραφέα καὶ μορφῆς, χαράκτην τῆς Θεοτόκου, αὐτοῦ λιτὰς ἐκζητοῦντες, πρὸς τὸν εὐΐλατον Θεάνθρωπον.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Αἴτει νεολαίας φωτισμὸν, τῆς ἐπιζητούσης σὴν χάριν, καὶ πίστει σῇ ἀρωγῇ, νῦν σπευδούσῃ, ἅγιε, Λουκᾶ ἀπόστολε, καὶ βοήθειαν πάρεχε, τοῖς ἐμπεριστάτοις, θαυμαστὲ ἀπόστολε, πνευματοκίνητε, ἵνα ἐν χαρᾷ σε τιμῶμεν, ὡς ἡμῶν ἐν βίῳ προστάτην, καὶ ἐν τοῖς κινδύνοις ἀντιλήπτορα.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον.

*Λουκᾶ, λαμπρότης ἀποστόλων,*
*Βοήθει Μαξίμῳ λευΐτη, βοᾷ Χαραλάμπης.*

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΠΕΡΙΕΧΟΜΕΝΑ

Πρόλογος ........ 3
Εἰσαγωγικὸν Σημείωμα ........ 5
Ἑσπερινός ........ 11
Ὄρθρος ........ 18
Θεία Λειτουργία ........ 30
Παρακλητικὸς Κανών ........ 33



Η "ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ" ΕΤΥΠΩΘΗ ΤΟΝ ΙΟΥΛΙΟΝ 2005 ΕΙΣ 5.000 ΑΝΤΙΤΥΠΑ. ΗΛΕΚΤΡΟΝΙΚΗ ΣΕΛΙΔΟΠΟΙΗΣΙΣ, ΕΚΤΥΠΩΣΙΣ, ΒΙΒΛΙΟΔΕΣΙΑ: ΕΚΔΟΣΕΙΣ "ΚΥΠΡΗ", ΚΑΡΑΪΣΚΑΚΗ 19, 143 43 Ν. ΧΑΛΚΗΔΟΝΑ, ΤΗΛ. 2108542020. ΕΠΙΜΕΛΕΙΑ ΕΚΔΟΣΕΩΣ: ΑΡΧΙΜ. ΜΑΞΙΜΟΣ Μ. ΜΑΤΘΑΙΟΣ